ΧΟΡΟΣ.

Μὴ ῎λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.

ΕΤΕΟΚΛΗΣ.

Τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.

ΧΟΡΟΣ.

Νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεός.

ΕΤΕΟΚΛΗΣ.

Οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.

ΧΟΡΟΣ.

Ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;

ΕΤΕΟΚΛΗΣ.

Θεῶν διδόντων, οὐκ ἂν ἐκφύγοις κακά.

---

## ΧΟΡΟΣ.

στροφὴ ά. Πέφρικα τὰν ὠλεσίοικον
Θεόν, οὐ θεοῖς ὁμοίαν,
Παναληθῆ, κακόμαντιν,
Πατρὸς εὐκταίαν Ἐριννὺν
Τελέσαι τὰς περιθύμους
Κατάρας βλαψίφρονος Οἰδιπόδα·
Παιδολέτωρ δ' Ἔρις ἅδ' ὀτρύνει.

ἀντιςρ. ά. Ξένος δὲ κλήρους ἐπινωμᾷ.
Χάλυβος Σκυθῶν ἄποικος,
Κτεάνων χρηματοδαίτας,
Πικρὸς ὠμόφρων σίδαρος,
Χθόνα ναίειν διαπήλας,